καὶ ἀοράτους καταβεβηκέναι τοὺς πατέρας ἡμῶν εἰς Αἴγυπτον καὶ τὴν ψυχὴν τοῦ Ἰωσὴφ δεδέσθαι μόνην ὑπὸ τοῦ Φαραώ [o], διὰ τὸ γεγράφθαι· « Ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβησαν εἰς Αἴγυπτον [p] », καὶ « Σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ [q] », πρᾶγμα δεθῆναι μὴ δυνάμενον. **59.** Ἀγνοοῦσι γὰρ οἱ ταῦτα λέγοντες ὅτι συνεκδοχικῶς τὰ τοιαῦτα ὀνομάζεται, ἀπὸ μέρους τοῦ παντὸς δηλουμένου, ὥσπερ καί· « Νεοσσοὶ τῶν κοράκων ἐπικαλοῦνται τὸν Θεόν [r] », ἵν' ἡ πτηνὴ δηλωθῇ φύσις, καὶ Πλειὰς καὶ Ἕσπερος καὶ Ἀρκτοῦρος [s] μνημονεύονται ἀντὶ πάντων ἀστέρων καὶ τῆς περὶ τούτους οἰκονομίας.

**60.** Καὶ ἅμα οὐκ ἄλλως οἷόν τε ἦν τὴν τοῦ Θεοῦ δηλωθῆναι
C περὶ ἡμᾶς ἀγάπην ἢ ἐκ τοῦ μνημονευθῆναι τὴν σάρκα καὶ ὅτι δι' ἡμᾶς κατέβη καὶ μέχρι τοῦ χείρονος. Σάρκα γὰρ εἶναι ψυχῆς εὐτελέστερον, πᾶς ἂν τῶν εὖ φρονούντων ὁμολογήσειεν. **61.** Τὸ οὖν· « Ὁ Λόγος σὰρξ ἐγένετο [t] » ἴσον δοκεῖ μοι δύνασθαι τῷ καὶ ἁμαρτίαν αὐτὸν γεγονέναι λέγεσθαι καὶ κατάραν [u]· οὐκ εἰς ταῦτα τοῦ Κυρίου μεταποιηθέντος, πῶς γάρ; ἀλλ' ὡς διὰ τοῦ ταῦτα δέξασθαι τὰς ἀνομίας ἡμῶν ἀναλαβόντος καὶ τὰς νόσους βαστάσαντος [v]. **62.** Ταῦτα μὲν οὖν ἱκανῶς ἐν τῷ παρόντι διὰ τὸ σαφὲς καὶ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417091850/23 UNIVERSITÄT LEIPZIG